Οικουμενικον Πατριαρχειον
Ἱερὰ Μητρόπολις
Αὐστρίας καὶ
Ἐξαρχία Οὐγγαρίας
καὶ Μεσευρώπης

Ökumenisches Patriarchat
Heilige Metropolis
von Austria und
Exarchat von Ungarn
und Mitteleuropa

Ἐπὶ τὰς Πηγὰς

Κυριακή, 6 Ἀπριλίου 2025

Κυριακὴ Ε΄ τῶν Νηστειῶν

Μνήμη τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας καὶ τῶν Ἁγίων Εὐτυχίου, Πατριάρχου Κων/πόλεως, Γρηγορίου τοῦ Σιναΐτου, Γρηγορίου τοῦ Ἀθωνίτου, Πλατωνίδος καὶ Σάββα τοῦ ἐν Καλύμνῳ.

Zu den Quellen

Sonntag, 6. April 2025

Fünfter Fastensonntag

Gedächtnis der hl. Maria von Ägypten, und der Hll. Eutychius Patriarch von Konstantinupolis, Gregorios von Sinai, Gregorios von Athos, Platonis und Savvas von Kalymnos.

Ἑωθινὸν Εὐαγγέλιον Η΄ (Ιω κ΄:11 – 18)

Ἰδιόμελα τοῦ Τριωδίου

Ἦχος πλ. δ΄

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα· ὀρθρίζει γὰρ τὸ πνεῦμά μου, πρὸς ναὸν τὸν ἅγιόν Σου, ναὸν φέρον τοῦ σώματος, ὅλον ἐσπιλωμένον· ἀλλ᾽ ὡς οἰκτίρμων κάθαρον, εὐσπλάγχνῳ σου ἐλέει.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους, Θεοτόκε· αἰσχραῖς γὰρ κατερρύπωσα, τὴν ψυχὴν ἁμαρτίαις, ὡς ῥαθύμως τὸν βίον μου, ὅλον ἐκδαπανήσας· ταῖς σαῖς πρεσβείαις, ῥῦσαί με πάσης ἀκαθαρσίας.

Ἦχος πλ. Β΄

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν, ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· ἀλλὰ θαῤῥῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας Σου, ὡς ὁ Δαυῒδ βοῶ Σοι· Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα Σου ἔλεος.

Morgenevangelium VIII (Jo 20:11-18)

Idiomela des Triodion

Achter Ton

Öffne mir die Pforten der reuevollen Umkehr, Lebensspender, denn am Morgen blickt mein Geist auf zu Deinem heiligen Tempel, obgleich er trägt den befleckten Tempel des Leibes. Als Erbarmender reinige mich in Deinem barmherzigen Erbarmen.

Die Pfade der Erlösung ebne mir, Gottesgebärerin, denn mit schändlichen Sünden habe ich meine Seele beschmutzt und leichtfertig mein ganzes Leben verschleudert. Entreiß mich mit deiner Fürsprache aller Unreinheit!

Sechster Ton

Die Fülle meiner schändlichen Taten bedenke ich Elender und erzittere ob des furchtbaren Gerichtstages. Aber doch hoffe ich auf Deine Barmherzigkeit und rufe Dir wie David zu: Erbarme Dich meiner, Gott, nach Deinem reichen Erbarmen!

Ἐξαποστειλάριον

Ἦχος γ΄

Ὑπόδειγμα μετανοίας σὲ ἔχοντες, πανοσία Μαρία, Χριστὸν δυσώπει ἐν τῷ καιρῷ τῆς Νηστείας, τοῦτο ἡμῖν δωρηθῆναι, ὅπως ἐν πίστει καὶ πόθῳ, σὲ ἄσμασιν εὐφημῶμεν.

Exaposteilarion

Dritter Ton

Zum Vorbild der Umkehr haben wir dich, allheilige Maria, so bitte Gott in der Zeit des Fastens, diese auch uns zu schenken, die wir dich im Glauben inständig in Liedern verehren.

Στιχηρὰ τῆς Ὁσίας

Ἦχος πλ. β΄

Σὲ μὲν διεκώλυε τῆς τῶν σεπτῶν ἐποπτείας, μολυσμῶν τῶν πρότερον τὸ ἐπισυρόμενον μιαντήριον· ἡ δὲ σὴ αἴσθησις, καὶ τῶν σοὶ θεόφρον, πεπραγμένων ἡ συνείδησις, τὴν πρὸς τὰ κρείττονα σοὶ ἐπιστροφὴν ἐνειργάσατο· εἰκόνι γὰρ προσβλέψασα, τῆς εὐλογημένης Θεόπαιδος, πάντων καταγνοῦσα πταισμάτων σου, πανεύφημε, τῶν πρίν, ἐν παῤῥησίᾳ τὸ τίμιον Ξύλον προσεκύνησας.

Τόπους προσκυνήσασα, περιχαρῶς τοὺς ἁγίους, ἀρετῆς ἐφόδιον σωτηριωδέστατον ἔνθεν εἴληφας, καὶ φαιδρῶς ἔδραμες τὴν καλὴν πορείαν καὶ τὸ ῥεῖθρον ἐκπεράσασα, τὸ Ἰορδάνειον, τὸ τοῦ Βαπτιστοῦ ἐνδιαίτημα, προθύμως κατεσκήνωσας· καὶ τὴν τῶν παθῶν ἀγριότητα, διὰ πολιτείας, ἡμέρωσας λεπτύνασα σαρκός, δι‘ ἐγκρατείας ἀείμνηστε, Μῆτερ τὰ οἰδήματα.

Ἔρημον οἰκήσασα, τῶν σῶν παθῶν τὰς εἰκόνας εὐσεβῶς ἀπειλήψας, τὸ θεοειδέστατον ἐξεικόνισμα ἐν ψυχῇ γράψασα, ἀρετῶν ἰδέαις. Καὶ τοσοῦτον ὑπερέλαμψας, ὡς καὶ τοῖς ὕδασι, κούφως ἐπιβαίνειν τοῖς ἴχνεσι, καὶ γῆθεν ὑπεραίρεσθαι, ἐν ταῖς πρὸς Θεόν σου ἐντεύξεσι. Καὶ νῦν παῤῥησίᾳ, πανένδοξε Μαρία, τῷ Χριστῷ παρισταμένη, δυσώπησον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Stichera der Heiligen

Sechster Ton

Die Beschmutzung früherer Befleckungen hinderte dich an der ehrwürdigen Schau Gottes; doch deine Gesinnung und das Zeugnis deiner Werke bewirkten deine Umkehr zum Guten, du Gottsinnende. Denn als du das Bild der gepriesenen Gottesbraut schautest, hast du alle deine früheren Verfehlungen erkannt und hast voll Vertrauen das kostbare Holz des Kreuzes verehrt.

Überall hast du die heiligen Stätten verehrt und wurdest zum heilbringenden Werkzeug der Tugend. Strahlend bist du den guten Weg gelaufen, hast den Jordan überschritten und frohen Mutes die Wüste des Täufers bewohnt. Durch dein Leben hast du die Wildheit der Leidenschaften geschwächt und durch Enthaltsamkeit die Aufwallungen des Fleisches, du unvergessliche Mutter.

Die Wüste hast du bewohnt und die Bilder deiner Leidenschaften hast du gottesfürchtig entfernt, in die Seele schriebst du die Gestalten der gottgefälligen Tugenden fest ein. Und so erstrahltest du, als du leicht über die Wasser geschritten bist und in deinem Flehen zu Gott von der Erde emporgehoben wurdest. Flehe nun, allberühmte Maria, in deinem freimütigen Stehen bei Christus, für unsere Seelen.

Δοξαστικόν

Ἦχος α΄

Οὐκ ἔστιν ἡ Βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις ἀλλὰ δικαιοσύνη καὶ ἄσκησις, σὺν ἁγιασμῷ· ὅθεν οὐδὲ πλούσιοι εἰσελεύσονται ἐν αὐτῇ, ἀλλ‘ ὅσοι τοὺς θησαυροὺς αὐτῶν ἐν χερσὶ πενήτων ἀποτίθενται. Ταῦτα καὶ Δαυῒδ ὁ Προφήτης διδάσκει λέγων· Δίκαιος ἀνὴρ ὁ ἐλεῶν ὅλην τὴν ἡμέραν, ὁ κατατρυφῶν τοῦ Κυρίου καὶ τῷ φωτὶ περιπατῶν, ὃς οὐ μὴ προσκόψῃ. Ταῦτα δὲ πάντα, πρὸς νουθεσίαν ἡμῶν γέγραπται ὅπως νηστεύοντες, χρηστότητα ποιήσωμεν καὶ δῴη ἡμῖν Κύριος ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια.

Doxastikon

Erster Ton

Das Reich Gottes ist nicht Speise und Trank, sondern Gerechtigkeit und Askese mit Heiligung. So werden auch die Reichen nicht darin eintreten, sondern alle, die ihre Reichtümer in die Hände der Hungernden legen. Dies lehrt auch David der Prophet: Gerecht ist der Mann, der sich den ganzen Tag lang erbarmt, der vom Herrn genährt wird und im Licht wandelt, damit er nicht stürze. Das alles ist geschrieben und uns ans Herz gelegt, dass wir fasten und in Güte handeln, auf dass der Herr uns statt des Irdischen das Himmlische gewähre.

ΛΕΙΤΟΥΡΓΙΑ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Ἀπολυτίκιον Ἀναστάσιμον

Ἦχος πλ. δ΄

Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαγχνος, ταφὴν κατεδέξω, τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ Ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν, Κύριε, δόξα Σοι.

Ἀπολυτίκιον τῆς Ὁσίας

Ἦχος πλ. δ΄

Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη τὸ κατ᾽ εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται Ὁσία Μαρία τὸ πνεῦμά σου.

Κοντάκιον

Ἦχος πλ. δ΄

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε.

Προκείμενον. Ἦχος πλ. δ΄

Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα Αὐτοῦ.

Ἀπόστολος

Ἑβρ. θ΄: 11–14

Ἀδελφοί, Χριστὸς παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τοῦτ᾽ ἔστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι᾽ αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

Göttliche Liturgie des Hl. Basileios des Großen

Auferstehungsapolytikion

Achter Ton

Herabgestiegen aus der Höhe hast Du, Barmherziger, die dreitägige Grabesruhe auf Dich genommen, um uns von den Leidenschaften zu be-freien. Du unser Leben und unsere Auferstehung, Ehre sei Dir, o Herr.

Apolytikion der Heiligen

Achter Ton

In dir, Mutter, ward die Gottesebenbildlichkeit unversehrt bewahrt, denn das Kreuz hast du auf dich genommen und bist Christus nachgefolgt. Da du dies tatest, hast du uns gelehrt, nicht auf das Fleisch zu achten, denn es ist vergänglich, sondern sich der Seele anzunehmen, die unsterblich ist. Deshalb jubelt, heilige Maria, dein Geist mit den Engeln.

Kontakion

Achter Ton

Der Christen unfehlbare Behüterin, stete Fürbitte vor dem Schöpfer: Überhör nicht das Flehen der Sünder, sondern eile, Gütige, uns zu helfen, die wir dir gläubig rufen. Eile dich und bitte für uns um Hilfe, Gottesgebärerin und ewiger Schutz für alle, die dich ehren.

Prokeimenon. Achter Ton

Betet und bringt dar dem Herrn, unserem Gott.

Vers: Bekannt ist Gott in Juda, groß ist in Israel Sein Name.

Apostellesung

Hebr 9,11–14

Brüder, Christus ist gekommen als Hohepriester der künftigen Güter durch das größere und vollkommenere Zelt, das nicht von Menschenhand gemacht, das heißt nicht von dieser Schöpfung ist. Nicht mit dem Blut von Böcken und jungen Stie-ren, sondern mit seinem eigenen Blut ist er ein für alle Mal in das Heiligtum hineingegangen und so hat er eine ewige Erlösung bewirkt. Denn wenn schon das Blut von Böcken und Stieren und die Asche einer jungen Kuh die Unreinen, die damit besprengt werden, so heiligt, dass sie leiblich rein werden, um wie viel mehr wird das Blut Christi, der sich selbst als makelloses Opfer kraft des ewigen Geistes Gott dargebracht hat, unser Gewissen von toten Werken reinigen, damit wir dem lebendigen Gott dienen.

Εὐαγγέλιον

Μκ. ι΄: 32–45

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς Αὐτοῦ καὶ ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα Αὐτῷ συμβαίνειν· ὅτι Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν Αὐτὸν θανάτῳ καὶ παραδώσουσιν Αὐτὸν τοῖς ἔθνεσι, καὶ ἐμπαίξουσιν Αὐτῷ καὶ μαστιγώσουσιν Αὐτὸν καὶ ἐμπτύσουσιν Αὐτῷ καὶ ἀποκτενοῦσιν Αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Καὶ προσπορεύονται Αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου λέγοντες· Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετε ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον Αὐτῷ· Δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων Σου καθίσωμεν ἐν τῇ δόξῃ Σου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; οἱ δὲ εἶπον Αὐτῷ· Δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. Καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς λέγει αὐτοῖς· Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος, καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος· καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν Αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

Evangelium

Mk 10,32–45

In jener Zeit versammelte Jesus die Zwölf wieder um sich und kündigte ihnen an, was Ihm bevorstand. Er sagte: Siehe, wir gehen nach Jerusalem hinauf; und der Menschensohn wird den Hohepriestern und den Schriftgelehrten ausgeliefert; sie werden Ihn zum Tod verurteilen und den Heiden ausliefern; sie werden Ihn verspotten, anspucken, geißeln und töten. Und nach drei Tagen wird Er auferstehen. Da traten Jakobus und Johannes, die Söhne des Zebedäus, zu Ihm und sagten: Meister, wir möchten, dass du uns eine Bitte erfüllst. Er antwortete: Was soll ich für euch tun? Sie sagten zu Ihm: Lass in deiner Herrlichkeit einen von uns rechts und den andern links neben Dir sitzen! Jesus erwiderte: Ihr wisst nicht, um was ihr bittet. Könnt ihr den Kelch trinken, den ich trinke, oder die Tau-fe auf euch nehmen, mit der ich getauft werde? Sie antworteten: Wir können es. Da sagte Jesus zu ihnen: Ihr werdet den Kelch trinken, den ich trinke, und die Taufe empfangen, mit der ich getauft wer-de. Doch den Platz zu meiner Rechten und zu mei-ner Linken habe nicht ich zu vergeben; dort werden die sitzen, für die es bestimmt ist. Als die zehn an-deren Jünger das hörten, wurden sie sehr ärgerlich über Jakobus und Johannes. Da rief Jesus sie zu sich und sagte: Ihr wisst, dass die, die als Herrscher gel-ten, ihre Völker unterdrücken und ihre Großen ihre Macht gegen sie gebrauchen. Bei euch aber soll es nicht so sein, sondern wer bei euch groß sein will, der soll euer Diener sein, und wer bei euch der Ers-te sein will, soll der Sklave aller sein. Denn auch der Menschensohn ist nicht gekommen, um sich die-nen zu lassen, sondern um zu dienen und sein Le-ben hinzugeben als Lösegeld für viele.

Ἀνοίγουν οἱ πύλες τῆς μετανοίας

Ὁ Θεάνθρωπος Ἰησοῦς Χριστός, ὁ μόνος ἀληθινὸς Θεός, ἐκτέλεσε τὸ σχέδιο τῆς Θείας Οἰκονομίας καὶ μὲ τὴ θυσία Του μᾶς ἐξαγόρασε ἀπὸ τὴν ἐξουσία τοῦ κακοῦ. Εἶναι γιὰ μᾶς ὁ Ζωοδότης ποὺ ἀνοίγει τὶς πύλες τῆς μετανοίας γιὰ ὅλους. Μὲ θάρρος καὶ δύναμη ἂς μετανοήσωμε γιὰ τὰ μικρὰ ἢ τὰ μεγάλα πάθη καὶ λάθη μας γιὰ νὰ εἰσέλθωμε στὴ Βασιλεία Του. Ἡ Ὁσία Μαρία ἡ Αἰγυπτία ζήτησε τὸ ἔλεος τοῦ Χριστοῦ, νίκησε τὶς ἐπιθυμίες της καὶ ἔγινε ὑπόδειγμα μετανοίας μὲ προσευχὴ καὶ νηστεία στὴν ἔρημο. Μὲ τὶς πρεσβεῖες της ἂς ἀξιωθοῦμε νὰ ὑμνήσωμε τὰ θεῖα Πάθη καὶ νὰ προσκυνήσωμε τὴν ἁγίαν Ἀνάσταση τοῦ Σωτῆρος Χριστοῦ.

Die Tore der Umkehr werden geöffnet.

Der Gottesmensch Jesus Christus, der einzige wahre Gott, hat den Plan der göttlichen Vorsehung ausgeführt und uns durch sein Opfer von der Macht des Bösen erlöst. Er ist für uns der Lebensspender, der die Tore der Umkehr für alle öffnet. Mit Mut und Kraft lasst uns von unseren kleinen oder großen Leidenschaften und Fehlern umzukehren, um in sein Reich einzutreten. Die heilige Maria von Ägypten bat um das Erbarmen Christi, überwand ihre Begierden und wurde durch Gebet und Fasten in der Wüste zu einem Vorbild der Umkehr. Durch ihre Fürbitten mögen wir würdig werden, die göttlichen Leiden zu preisen und die heilige Auferstehung des Erlösers Christus zu verehren.

www.metropolisvonaustria.at
Ἡ Ἱερὰ Μητρόπολις Αὐστρίας σᾶς εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της.
Die Metropolis von Austria dankt für Ihre großzügige Unterstützung.
Körperschaft des öffentlichen Rechts gemäß Gesetz 229/23 06.1967
Bankverbindung RLB NOE Wien AG – IBAN: AT67 3200 0000 0660 4771 – BIC: RLNATWW